κας, ὑπὲρ παντὸς τοῦ βίου μου. ἐπὶ τούτοις δὲ προβάλλοντες τοὺς δακτύλους ἐκύρωσαν τὰς συνθήκας. πρωΐας δὲ γενομένης, ἀναστὰς ὁ ξάνθος καὶ τὴν ὄψιν νιπτόμενος, μὴ ἰδὼν δὲ τὸ δακτύλιον ἐζήτει. καὶ φησὶν, αἴσωπε τί μοι γέγονεν ὁ δακτύλιος. ὁ δὲ αἴσωπος οὐκ οἶδα, φησί. ἀλλὰ τοῦτο γινώσκω ὅτι ξένος ἐγένου τοῦ βίου σου. ξάνθος ἔφη, τί λέγεις; αἴσωπος ἔφη, ἐπὶ τῷ χθὲς πότῳ συνθήκας ἔθου τὴν θάλασσαν ἐκπιεῖν ὑπὲρ ὅλου τοῦ βίου σου, καὶ τὸν δακτύλιον προεβάλλου. καὶ ὁ ξάνθος πῶς ἄρα ἐγὼ δύναμαι τὴν θάλασσαν ἐκπιεῖν; ἀλλὰ δέομαί σου εἰ δυνατὸς εἶ διὰ τῆς συνούσης σοι ἐμπειρίας βοήθησόν μοι, ἵνα διὰ προφάσεως τινὸς νικήσω ἢ λύσω τὰς συνθήκας. ὁ δὲ αἴσωπος ἔφη, νικῆσαι μὲν οὐ δυνατὸν, λυθῆναι δὲ ποιήσω. ὁ ξάνθος λέγει, δὸς μοι γνώμην ποίῳ λόγῳ ἢ τρόπῳ.

http://digital.slub-dresden.de/ppn346259193/63